Ακαδημία Αθηνών / Academy of Athens

Legrand, Bibl. Hell. XV-XVI, 4, σ. 150-152.

Ζυγομαλᾶς
Ἰωάννης

Ὑπὸ τοῦ Legrand βιογραφοῦντος τὸν Θεόδωρον Ῥέντιον δημοσιεύεται (ἐκ τοῦ Cod. Vatic. graec. Ottob. 75, f. 151ν a 152r) ἐπιστολὴ τούτου πρὸς τὸν Ἰωάννην Ζυγομαλᾶν [1579].

Ἐπιγρ.: Θεόδωρος Ῥέντιος Ἰωάννῃ τῷ Ζυγομαλᾷ, τῆς μεγάλης ἐκκλησίας ῥήτορι σοφωτάτῳ, εὖ πράττειν.

Inc.: Ἃ πρὸς τοὺς ἐπιφανεστάτους Καρδινάλεις ἐπέστειλας περὶ τοῦ ἑλληνικοῦ γυμνασίου, σεαυτὸν ὡς μάλιστα ἡσθέντα δηλῶν ἐπὶ τῇ τούτου καθιδρύσει...

Des.: ...καὶ τῶν λοιπῶν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ θείων καὶ ἱερῶν ἀνδρῶν. Ἔρρωσο. Ἀπὸ Ῥώμης, τοῦ ͵αφοθʹ ἔτους ἑκατομβαιῶνος ϛʹ φθίνοντος.

./.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Διὰ τῆς ἐπιστολῆς ταύτης ὁ Θεόδωρος Ρέντιος ἐξαίρει τὴν σημασίαν τῆς ἱδρύ-
σεως τοῦ ἑλληνικοῦ Κολλεγίου Ρώμης ὑπὸ τοῦ πάπα Γρηγορίου ΙΓ' καὶ πληροφορεῖ τὸν
Ἰωάννην Ζυγομαλᾶν περὶ τοῦ τρόπου τῆς ἐν τῇ σχολῇ ταύτῃ ἀγωγῆς ὡς παιδείας τῶν νέων:
«... Ἴστε ὅτι πρῶτον ἁπάντων καὶ μέγιστον παρ' ἡμῖν νομίζεται τὸ τοὺς παῖδας
τούτους ὁσίως καὶ ἁγίως διάγοντας παιδεύειν, καὶ τὰ θεῖα εὐσεβοῦντας. Τούτου
δὴ χάριν ταῖς τῶν ἑορτῶν ἡμέραις, ἀπὸ μὲν τῶν ἄλλων τῆς ἔξω σοφίας λόγων
σχολὴν ἄγει, τοῖς δὲ Χρυσοστόμου καὶ Βασιλείου καὶ τῶν ἄλλων τοῦ ἱεροῦ καταλό-
γου ἐνασχολοῦνται συγγράμμασιν, ὧν ἔχουσι τῶν τῆς ἑλληνικῆς παιδείας ἐκλεγό-
μενοι τὰ μάλιστα εἰς τὴν ἀληθῆ σοφίαν, ἥπερ μόνη τὸ μακαριώτατον ἐστὶ τῶν
εὐσεβῶν τέλος, ἀναφέρειν ταῦτα. Ὅπως δὲ μηδὲ τῶν τῆς ἀνατολικῆς ἐκκλησίας
θρησκειῶν καὶ ἀκολουθιῶν ἐνδεεῖς ὦσι, δέδονται τῷ παναγιωτάτῳ πατρὶ καὶ
ναὸν οἰκοδομηθῆναι μεγαλοπρεπέστατον Γρηγορίου τοῦ θεολόγου τῷ ὁμωνύμῳ αὐτῷ,

./.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Legrand, Bibl. Hell. XV-XVI, 4, σ. 150-152 (B) Ζυγομαλᾶς

Ἰωάννης

ἐν ᾧ ἡ τῶν Γραικῶν ἐκκλησιαστικὴ τάξις διατηρηθήσεται· ἱερεὺς δέ τις τῶν ἐκ τοῦ ἡμετέρου γένους μετακληθήσεται τοῦ κατὰ προστησόμενος, οὐχ ὁ τυχών, ἀλλ᾽ ὃς ἄν τῇ τε τοῦ βίου ὁσιότητι καὶ τοῖς ἄλλοις τῷ ἱερατικῷ προσήκουσι τάγματα παρὰ πᾶσιν εὐδοκιμῶν, τῆς ἀσκητικῆς ἀρετῆς φέρῃ τὰ πρωτεῖα.

. . . . . . . . . . . .

» Τὰ μὲν οὖν περὶ τὴν ἀρετὴν καὶ τὴν εὐσέβειαν οὕτως ἡμῖν ἔχει. Τὰ δὲ περὶ τοὺς λόγους καὶ τὴν σοφίαν οὐχ ὡς ἄν τις τῶν φθονούντων εἴποι εὐκαταφρόνητα, ἀλλὰ καὶ τῶν ἐν τοῖς δημοσίοις ἀναγινωσκομένων γυμνασίοις πολλῷ βελτίω καὶ χρησιμώτερα. Οὐ μόνον γὰρ τὰ τῆς γραμματικῆς, καὶ τῆς

./.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τονογραφίας, καὶ τῆς ποιητικῆς, μανθάνειν ἔσται τοῖς νέοις, ἀλλὰ καὶ προπαιδευθεῖσιν ἱκανῶς ἐν τούτοις προβιβάζεσθαι περαιτέρω, διαλεκτικῇ τε καὶ ῥητορικῇ ἐγγυμναζομένοις καὶ θεολογίαν μυουμένοις (sic). Τῷ μὲν οὖν θεολογίαν ἐπαγγέλλεσθαι προελομένῳ, μανθάνειν ἐξέσται τῶν παρ' ἡμῖν διδασκάλων ἀκροατῇ γινομένῳ· τῷ δὲ φιλοσόφων θεωρίαις ἡδομένῳ, καὶ τούτῳ παρὰ τῶν τὰ τοῦ Ἀριστοτέλους ἐξηγουμένων ἐξέσται ἐμφορεῖσθαι· ὥστε, τούτων ὑποτεθεισῶν ἀρχῶν, ἐλπὶς ἐστὶ βεβαία τὴν ἀρχαίαν σοφίαν καὶ περὶ τὰ θεῖα ἐπιστήμην ἀναλήψεσθαι τῷ χρόνῳ ποτὲ τοὺς νῦν δυστυχοῦντας Ἕλληνας....».

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ